ΑΕΦ 105

1) Μέγας Βασίλειος

*Προς τους νέους….* (ομιλία)

κεφ. 4 (επιμ. N.G. Wilson)

Ἀλλ᾽ ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα ἱκανῶς εἴρηται: ὅπως γε μὴν αὐτῶν μεθεκτέον ὑμῖν ἑξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν, ἵν᾽ ἐντεῦθεν ἄρξωμαι: ἐπεὶ παντοδαποί τινές εἰσι [1] κατὰ τοὺς λόγους, μὴ πᾶσιν ἐφεξῆς προσέχειν τὸν νοῦν: ἀλλ᾽ ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν, καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους [p. 388] εἶναι: [2] ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι τῇ μιμήσει, ταῦτα δεῖ φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα, οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα φασὶν ἐκεῖνοι τὰ τῶν **Σειρήνων** μέλη. ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα. [3] διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. [4] οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητὰς οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται. [3] πάντων δὲ ἥκιστα περὶ θεῶ

ν τι διαλεγομένοις προσέξομεν, καὶ μάλισθ᾽ ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι καὶ τούτων οὐ δὲ ὁμονοούντων. [5] ἀδελφὸς γὰρ δὴ παρ᾽ ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν καὶ γονεὺς πρὸς παῖδας καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. μοιχείας δὲ θεῶν καὶ ἔρωτας καὶ μίξεις ἀναφανδόν, καὶ ταῦτάς γε μάλιστα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διός, ὡς αὐτοὶ λέγουσιν, ἃ [4] κἂν περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν. [6] Ταὐτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων [p. 390] ἔχω, καὶ μάλισθ᾽ ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. οὔτε γὰρ ἐν δικαστηρίοις οὔτ᾽ ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι νόμῳ προστεταγμένον ἐστίν. [7] ἀλλ᾽ ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπήνεσαν ἢ πονηρίαν [5] διέβαλον. ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας ἢ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις, **ταῖς μελίτταις** δ᾽ ἄρα καὶ μέλι λαμβάνειν ἀπ᾽ αὐτῶν ὑπάρχει, οὕτω δὴ κἀνταῦθα τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον τῶν τοιούτων λόγων διώκουσιν ἔστι τινὰ καὶ ὠφέλειαν ἀπ᾽ αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. [8] κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα τῶν λόγων ὑμῖν μεθεκτέον. ἐκεῖναί τε γὰρ οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησί

ως ἐπέρχονται, οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν, ὅλα φ έρειν ἐπιχειροῦσιν, ἀλλ᾽ ὅσον αὐτῶν ἐπιτήδειον π ρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀ φῆκαν. [9] ἡμεῖς τε, ἢν [6] σωφρονῶμεν, ὅσον οἰκεῖ ον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ᾽ αὐτῶν κομι σάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. καὶ καθά περ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι τὰς ἀκ άνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λό γων [p.
392] ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξώμεθα. [10] [7] εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖ ν [8] ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν τὸν λίθον ποτὶ τὰν σπάρτον ἄγοντας.

2.) Πλούταρχος, *Πως δει τον νεον ποιηματων ακούειν*

15d:
πότερον οὖν τῶν νέων ὥσπερ τῶν Ἰθακησίων σκληρῷ [1] τινι τὰ ὦτα καὶ ἀτέγκτῳ κηρῷ καταπλάσσοντες ἀναγκ άζωμεν αὐτοὺς τὸ Ἐπικούρειον ἀκάτιον ἀραμένους ποι ητικὴν φεύγειν καὶ παρεξελαύνειν , ἢ μᾶλλον ὀρθῷ τινι λογισμῷ παριστάντες καὶ καταδέοντες τὴν κρίσιν, ὅπω ς μὴ παραφέρηται τῷ τέρποντι πρὸς τὸ βλάπτον, ἀπευθ ύνωμεν καὶ παραφυλάττωμεν ;

Also Clem. Alex. Protrepticos, 118,1: ‘Fellow passengers, let us avoid this sea-wave…the island is evil (πονηρά), littered with bones and corpses. Here a πορνίδιον ωραιον,

ηδονή, is enjoying popular music (πάνδημος μουσική). Παράπλει την ῳδήν…

27 a-b:

ὅπου δ᾽ ἀσαφῆ τὰ τῆς γνώμης [i.e. of Homer], διοριστέον οὕτω πως ἐφιστάντας τὸν νέον. εἰ μ ὲν **ἡ Ναυσικάα** ξένον ἄνδρα τὸν Ὀδυσσέα θεασαμένη καὶ παθοῦσα τὸ τῆς Καλυψοῦς πάθος πρὸς αὐτόν, ἅτε δ ὴ τρυφῶσα καὶ γάμων ὥραν ἔχουσα,

---

τοιαῦτα μωραίνει πρὸς τὰς θεραπαινίδας

αἲ γὰρ ἐμεῦ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καὶ οἱ ἅδοι αὐτόθι μίμνειν,

ψεκτέον τὸ θράσος αὐτῆς καὶ τὴν ἀκολασίαν˙ εἰ δὲ τοῖς λόγοις τοῦ ἀνδρὸς τὸ ἦθος ἐνιδοῦσα καὶ θαυμάσασα τὴ ν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔχουσαν εὔχεται τοιούτῳ συνοικεῖν μᾶλλον ἢ πλωτικῷ τινι καὶ ὀρχηστικῷ τῶν πο λιτῶν, ἄξιον ἄγασθαι.

30 d:

---

ἐπεὶ δ᾽ ὥσπερ ἐν ταῖς νομαῖς **ἡ μὲν μέλιττα** διώκει τὸ ἄν θος, ἡ δ᾽ αἲξ τὸν θαλλόν, ἡ δ᾽ ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῷα τὸ σπέρμα καὶ τὸν καρπόν, οὕτως ἐν ταῖς ἀναγνώσεσι τῶν ποιημάτων ὁ μὲν ἀπανθίζεται τὴν ἱστορίαν, ὁ δ᾽ ἐμ φύεται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, καθ άπερ ὁ Ἀριστοφάνης περὶ τοῦ Εὐριπίδου φησὶ

χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ
[1]

οἱ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται, π ρὸς οὓς δὴ νῦν ἡμῖν ὁ λόγος ἐστίν. ὑπομιμνῄσκωμεν οὖν αὐτοὺς ὅτι δεινόν ἐστι τὸν μὲν φιλόμυθον μὴ λανθ άνειν τὰ καινῶς ἱστορούμενα καὶ περιττῶς, μηδὲ τὸν φι λόλογον ἐκφεύγειν τὰ καθαρῶς πεφρασμένα
καὶ ῥητορικῶς, τὸν δὲ φιλότιμον καὶ φιλόκαλον καὶ μὴ παιγνίας [1] ἀλλὰ παιδείας ἕνεκα ποιημάτων ἁπτόμενον ἀργῶς καὶ ἀμελῶς ἀκούειν τῶν πρὸς ἀνδρείαν ἢ σωφρο σύνην ἢ δικαιοσύνην ἀναπεφωνημένων, οἷα καὶ ταῦτ᾽ ἐ στὶ

Τυδείδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ᾽ ἄγε [2] δεῦρο, πέπον, παρ᾽ ἔμ᾽ ἵστασο: δὴ γὰρ ἔλεγχ ος
ἔσσεται, εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ.